τε κλόνους πόλεων τ᾽ ἀναστάσεις.

ἔμαθον δ᾽ εὐρυπόροιο θαλάσσης ἀντ. γ᾽
πολιαινομένης πνεύματι λάβρῳ
ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πεί-
σμασι λαοπόροις τε μαχαναῖς.

ταῦτά μοι μελαγχίτων στρ. δ᾽
φρὴν ἀμύσσεται φόβῳ,
ὀά,
Περσικοῦ στρατεύματος
τοῦδε μὴ πόλις πύθηται κένανδρον μέγ᾽ ἄστυ Σουσίδος·

καὶ τὸ Κισσίων πόλισμ᾽ ἀντ. δ᾽
ἀντίδουπον ἔσσεται,
ὀά,
τοῦτ᾽ ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων· βυσσίνοις δ᾽
ἐν πέπλοις πέσῃ λακίς.

---

107. ἔμαθον δ᾽ εὐρυπόροιο: οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ᾽ οἱ ὑπήκοοι Περσῶν. τὸ δὲ ἔμαθον φησὶν ἀντὶ τοῦ μαθεῖν ἐποίησαν. 108. πολιαινομένης: ἀφριζομένης τῷ ἀφρῷ τῆς κωπηλασίας. 110. λεπτοδόμοις: τοῖς λεπτῶς κατεσκευασμένοις. 111. λαοπόροις τε μηχαναῖς: ταῖς τοὺς λαοὺς διαπορθμευούσαις, ἢ ταῖς ἀπὸ τῆς κωπηλασίας μηχαναῖς ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων. 112. μελαγχίτων] ἡ συνετή. μελαγχίτων: πενθήρης, ἢ ἀμφιμέλαινα. ἔστι δὲ παρὰ τὸ (Hom. Il. ά, 243) ‚σὺ δ᾽ ἔνδοθι θυμὸν ἀμύξῃς.᾽ τὰ γὰρ τοῦ σώματος πάθη δοκοῦμεν καὶ τὴν ψυχὴν πάσχειν. 114. ὀά: Περσικὸν θρήνημα. 116. μὴ πόλις πύθηται: μὴ πύθηταί τις τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ. μὴ τὸ τῆς Σουσίδος ἄστυ κένανδρον ἀκούσῃ. 119. ἀντίδουπον: ἀντηχήσει τοῖς θρήνοις. μὴ ἀντηχήσῃ, φησί, θρῆνον αὐτῶν τελευτησάντων. 122. ἀπύων] ἀπύοντος πρὸς τὸ ἀντίδουπον ἔσεται· ἢ λείπει τὸ ἔσται· ἔσται ἀπύων· ἢ μετοχὴ ἀντὶ ῥήματος, ἀντὶ τοῦ ἀπύσει. 122. βυσσίνοις] κατὰ κοι-

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG